καὶ τὰ ὑψηλὰ ἀφανισθήσεται, ὅπως ἐξολεθρευθῇ τὰ θυσιαστήρια
ὑμῶν, καὶ συντριβήσονται τὰ εἴδωλα ὑμῶν, καὶ ἐξαρθήσεται τὰ
7 τεμένη ὑμῶν, [7]καὶ πεσοῦνται τραυματίαι ἐν μέσῳ ὑμῶν, καὶ ἐπι-
8 γνώσεσθε ὅτι ἐγὼ κύριος. [8]ἐν τῷ γενέσθαι ἐξ ὑμῶν ἀνασῳζομένους
ἐκ ῥομφαίας ἐν τοῖς ἔθνεσιν καὶ ἐν τῷ διασκορπισμῷ ὑμῶν ἐν
9 ταῖς χώραις [9]καὶ μνησθήσονταί μου οἱ ἀνασῳζόμενοι ἐξ ὑμῶν ἐν
τοῖς ἔθνεσιν, οὗ ᾐχμαλωτεύθησαν ἐκεῖ· ὀμώμοκα τῇ καρδίᾳ αὐτῶν
τῇ ἐκπορνευούσῃ ἀπ᾽ ἐμοῦ καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν τοῖς πορ-
νεύουσιν ὀπίσω τῶν ἐπιτηδευμάτων αὐτῶν, καὶ κόψονται πρόσωπα
10 αὐτῶν ἐν πᾶσι τοῖς βδελύγμασιν αὐτῶν· [10]καὶ ἐπιγνώσονται διότι
11 ἐγὼ κύριος λελάληκα. [11]τάδε λέγει κύριος Κρότησον τῇ χειρὶ καὶ
ψόφησον τῷ ποδὶ καὶ εἰπόν Εὖγε εὖγε ἐπὶ πᾶσιν τοῖς βδελύγμασιν
οἴκου Ισραηλ· ἐν ῥομφαίᾳ καὶ ἐν θανάτῳ καὶ ἐν λιμῷ πεσοῦνται.
12 [12]ὁ ἐγγὺς ἐν ῥομφαίᾳ πεσεῖται, ὁ δὲ μακρὰν ἐν θανάτῳ τελευτή-
σει, καὶ ὁ περιεχόμενος ἐν λιμῷ συντελεσθήσεται, καὶ συντελέσω
13 τὴν ὀργήν μου ἐπ᾽ αὐτούς. [13]καὶ γνώσεσθε διότι ἐγὼ κύριος ἐν
τῷ εἶναι τοὺς τραυματίας ὑμῶν ἐν μέσῳ τῶν εἰδώλων ὑμῶν κύκλῳ
τῶν θυσιαστηρίων ὑμῶν ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ὑποκάτω
δένδρου συσκίου, οὗ ἔδωκαν ἐκεῖ ὀσμὴν εὐωδίας πᾶσι τοῖς εἰδώ-
14 λοις αὐτῶν. [14]καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ᾽ αὐτοὺς καὶ θήσομαι
τὴν γῆν εἰς ἀφανισμὸν καὶ εἰς ὄλεθρον ἀπὸ τῆς ἐρήμου Δεβλαθα
ἐκ πάσης τῆς κατοικίας· καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ κύριος.
7 [1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώ-
που, εἰπόν Τάδε λέγει κύριος τῇ γῇ τοῦ Ισραηλ Πέρας ἥκει, τὸ
3 πέρας ἥκει ἐπὶ τὰς τέσσαρας πτέρυγας τῆς γῆς· [3]ἥκει τὸ πέρας
4 [4]ἐπὶ σὲ τὸν κατοικοῦντα τὴν γῆν, ἥκει ὁ καιρός, ἤγγικεν ἡ ἡμέρα,
5 οὐ μετὰ θορύβων οὐδὲ μετὰ ὠδίνων. [5]νῦν ἐγγύθεν ἐκχεῶ τὴν ὀρ-
γήν μου ἐπὶ σὲ καὶ συντελέσω τὸν θυμόν μου ἐν σοὶ καὶ κρινῶ
σε ἐν ταῖς ὁδοῖς σου καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου·
6 [6]οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω, διότι τὰς ὁδούς

6 αφανισθησονται A | εξαρθη B | fin. B†] + και εξαλ(ε)ιφθωσιν(*L* -θη) τα εργα υμων rel. (in *O* sub ※) || 8 init.] pr. και υπολειψομαι A (in *O* sub ※) || 9 ομωμεχα A†: cf. Thack. p. 205 | τη εκπορνευουση] + τη αποσταση mu. et sim. A (in *O* sub ※) | προσωπα] pr. τα A | εν ult. B†] pr. περι των κακ(ι)ων ων εποιησαν rel. (in *O* sub ※) | fin.] + και εν πασιν τοις επιτηδευμασιν αυτων A || 10 διοτι] οτι A | λελαληκα B†] pr. ουκ εις δωρεαν et add. του ποιησαι αυτοις απαντα τα κακα ταυτα rel. (in *O* sub ※) || 11 κυριος] pr. αδωναι A mu.: cf. 5 5 || 12 ο 1⁰ — πεσειται(A† τελευτησει) / ο 2⁰ — τελευτησει] tr. QV 393 *L* = 𝔐 | και ο] pr. και ο υπολ(ε)ιφθεις A (in *O* sub ※) || 13 υψηλον B†] + και εν πασαις κορυφαις των ορεων rel. (in *O* sub ※) | συσκιου B†] + και υποκατω πασης(>393 *C*†) δρυος δασ(ε)ιας rel. (in *O* sub ※) || 14 κατοικιας] -κεσιας B pau.

7 2 κυριος B pau.] pr. αδωναι rel.: cf. 5 5 || 3—9 hoc ordine praeb. B†; rel. retinent 3 (cf. 𝔐 6) hoc loco, tr. 4—6 (= 𝔐 7—9) post 7—9 (= 𝔐 3—5)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/782 UNIVERSITÄT LEIPZIG